7. τοῖς ποθ. Ἔπιθι Ὀδυσσ. Α, 58. — 14. Ἔπ. Νικ. Χων. 336, 11 (ἔκδ. Βόννης) «τῷ κύκλῳ τῶν περὶ ἐκεῖνον ἐνέγραφε» καὶ αὐτ. σ. 344, 15 «τῷ κύκλῳ ἐγγραφέντας τῶν Ἀνδρονίκῳ προστεθειμένων.» — 19. πόλιν προσέθηκα λεῖπον ἐν τῷ κώδικι. — 22. συμπάσχω. Μετὰ τὸ χρησάμενος ἕπονται ἐν τῇ ᾤᾳ τοῦ λαυρεντιανοῦ κώδικος, ὑπὸ τῆς αὐτῆς χειρὸς γεγραμμένα, τὰ ἑξῆς, ὧν τὰ ἐν ἀγκύλαις συμπληρούμενα λείπουσιν ἀποκοπέντα κατὰ τὴν στάχωσιν «ποῦ μοι τὰ τῆς ἄκρας ἐ[στὶ] σοφίας; ποῦ μοι τὰ τῆς [πάλαι;] ἀνδρείας; φροῦδα πά[ντα] καὶ μῦθος οὐ πιστευόμενος.»

γοῦν Ἡλιαίας ἢ Περιπάτου ἢ Λυκείου εὕροις ἄν, πλεῖστα χαμών. Μόνον ἂν ἴδοις πετραῖον Ἀρείου Πάγου γεώλοφον, οὐδὲν ὅ φασιν ἱερόν, ὅτι μὴ στεφάνην πέτρας ψιλὴν καὶ μόνῳ τῷ σεμνῷ γνωριζομένην ὀνόματι· τυχὸν δέ τι καὶ τῆς Ποικίλης Στοᾶς μικρὸν λείψανον, μηλόβοτον καὶ αὐτὸ καὶ τοῖς ὀδοῦσι τοῦ χρόνου τὰς πλίνθους παρατρωγόμενον. 6. Οὕτω Μοῦσαι μὲν καὶ Χάριτες αὐτῇ φιλοσοφίᾳ καὶ αὐτῇ σοφιστικῇ τῆς Ἀττικῆς ἐξαπέπτησαν, ἀγροικία δὲ [καὶ] βάρβαρος φωνὴ ταύτην κατεκληρώσαντο. Καὶ ἵνα τὰ παρὰ τοῦ προφητικοῦ πνεύματος ἐπαπειλούμενα τῇ Βαβυλῶνι κατὰ καιρὸν φθέγξωμαι, «ποιμένες μὲν οὐκ ἀναπαύονται ἐν αὐτῇ, ἀναπαύονται δὲ θηρία πονηρὰ δαιμόνιά τε ἐνορχοῦνται αὐτῇ καὶ ὀνοκένταυροι κατοικοῦσι καὶ ἐχῖνοι τοῖς οἴκοις ἐννεοττεύουσι» καὶ εἴ τι ἄλλο τοιοῦτον ταῖς ἐρημουμέναις ἐμφιλοχωρεῖ πόλεσιν.

7. Ἀλλὰ τί ταῦτα μάτην ἐκτετραγῴδηται, καὶ ταῦτα νῦν, ὅτε χρεὼν πάντων ἐπιλελῆσθαι τῶν σκυθρωπῶν καὶ λευκὰς ἄγειν ἡμέρας, δοκοῦντας ἐπὶ τὴν ἀρχαίαν εὐδαιμονίαν παλινδρομεῖν τὴν Ἑλλάδα καὶ τὴν τοῦ Πέλοπος, ἐπεὶ ὑπὸ σοὶ δικαστῇ καὶ κοσμήτορι ἄγεσθαι καὶ ῥυθμίζεσθαι κατὰ θεῖον εὐτύχησαν; Ὃς τῶν σπουδαίων ἐκείνων ἀνδρῶν καὶ πολιτευσαμένων ἐπὶ σωτηρίᾳ τῶν πόλεων τὴν πᾶσαν συνελὼν ἀρετὴν φέρεις ἐν σεαυτῷ, καὶ τὴν μὲν νομοθετικὴν ἠκριβώσω μᾶλλον Λυκούργου καὶ Σόλωνος, τὴν δὲ δικαστικὴν ||

9. τὸ καὶ λείπει ἐν τῷ κώδικι. — 12-15. Ἐπιθ. Ἡσ. XIII, 20-22. — 20. λευκὴ ἡμέρα ἀπαντᾷ παρὰ Πλουτ. Περ. 27, Αἰσχύλ. Περσ. 301, Σοφ. Αἴαντι 709 καὶ ἀλλ. — 27. || Κώδ. 40, 6.

τοῦ Μίνωος κρεῖττον καὶ Ῥαδαμάνθυος, τοῦ δὲ δικαίου Ἀριστείδου τοσούτῳ διήνεγκας, ὅσῳ τῆς ἀδικίας τὸ δίκαιον (ἐς τοσοῦτον γὰρ ἐγὼ τῆς ἑλληνικῆς εὐθυδικίας οἶδα τὴν κατὰ Χριστὸν ὑπερφέρουσαν), Θεμιστοκλέους δὲ τοσοῦτον ἀγχινούστερος ἦσθα ὅσον καὶ παιδὸς ἀνὴρ ἐντελής. Τό γε μὴν Περικλέους ἐν δημηγορίαις καταπλῆττον καὶ Δημοσθένους τὸ ἐν ῥητορείαις ἐνθουσιάζον, πάλαι βίβλοις μανθάνων, νῦν ἐν σοὶ δι' ἔργων ἐγνώρισα, Ἱππολύτου δὲ τὸ σῶφρον καὶ Αἰακοῦ.

8. Ἀλλ' οὐ θέμις παραβάλλειν τὴν ἀρχὴν τὰ ἀσύμβλητα, ὥςπερ οὐδὲ τὸ ἀδιάφθορον τῆς δίκης σου καὶ κρεῖττον παντὸς λήμματος σχοίη ἂν παρ' ἐκείνοις οἰκεῖον ἀρχέτυπον, κἂν παρεισκυκλῇ τις τῷ λόγῳ τοὺς περὶ Μίνωα καὶ Ῥαδάμανθυν καὶ τοὺς ἐν ᾍδου δικαστικοὺς θρόνους ἐκείνων. Οἱ γὰρ ἐκθειάζοντες ἐκείνους ἀπορεῖν μοι δοκοῦσιν ἐκ τῶν ἐναργῶν παριστᾶν καὶ προδήλων τὴν ἀρετὴν τῶν ἀνδρῶν, καὶ παρὰ τοῦτο καθίζουσι δικαστὰς τῶν ἐν ᾍδου, ἵνα ψυχρὰν καὶ τεθνηκυῖαν τῆς δικαιοσύνης μαρτυρίαν σφίσι χαρίσωνται.

9. Οὐκουν πρὸς τὴν ἐκείνων δικαιοσύνην τὴν σὴν εὐθυδικίαν ἀντεξετάσαιμι, ἵνα μὴ τῇ νεκρᾷ καὶ ἀδήλῳ τὴν ζῶσαν καὶ φαινομένην συγκρίναιμι. Πλὴν τοσοῦτον θετέον παράλληλα, καθότι, ὡς ἐκείνους διὰ τὸ δόξαι δικαίους καὶ τῶν ἐν ᾍδου προβάλλονται δικαστάς, οὕτω καὶ σέ, δικαιότατον ἀνδρῶν ἀποδεδειγμένον καὶ τοῖς δικαστικοῖς θρόνοις ἤδη λαμπρῶς ἐμπρέψαντα, κατέπεμψεν ὁ θειότατος ἡμῶν αὐτοκράτωρ εἰς τὰ κατώτατα ταῦτα μέρη δικαστὴν ἀκριβῆ καὶ τῆς

2. τοιούτῳ. — 5. ἀγχινούσθερος. — 13. τίς. — 14. ἅδη. — 16. ἐνεργῶν.

Θέμιδος πρύτανιν, ἵνα θεμιστεύῃς τοῖς δεῦρο, μηδὲν ἀπεεικόσι νεκρῶν, ἀλλ' ἀτεχνῶς φαινομένοις καμόντων ἀμαυρὰ εἴδωλα. Ἡ γὰρ παμφάγος κακία, ὅσα καὶ Ἅδου γαστήρ, εἴ τι που ζωτικὸν ἀγαθὸν εὕροι, καταπέπωκε καὶ διέφθειρε καὶ ὡς πρόβατα ἐν Ἅδου τοὺς ἐνταῦθα ἔθετο. **10.** Καὶ δὴ τοῖς ὡς εἴρηται νεκροῖς ποιήσεις θαυμάσια, ὡς μηκέτι θάνατος ποιμανεῖ αὐτούς. Εἰς τοῦτο καὶ γὰρ ἀπεστάλης τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις ἀκτὶς παρὰ τοῦ ἡλίου τῆς δικαιοσύνης, τοῦ θεοειδοῦς φημὶ αὐτοκράτορος, ἵνα τοὺς μὲν ζωώσῃς θάλπων δίκης εὐθύτητι, τοὺς δ' ἀπαλλάξῃς τοῦ σκότους τῆς ἀδικίας, ὑφ' οὗ καὶ δεδορκότες σφίσι σκοτοῦνται τὰ βλέφαρα καὶ τὸ τοῖς δικαίοις ἐπανατέλλον φῶς ἀποστρέφονται.

11. Νῦν ἐπανῆλθεν ἡ δίκη ταῖς πόλεσι πάλαι ἀποπτᾶσα καὶ τὸν χθόνιον τοῦτον χῶρον ἀπολιποῦσα οἷς αἰσχρῶς ἑλκομένη περιϋβρίζετο· νῦν ἀνοίγονται βήματα καθ' Ἑλλάδα καὶ νόμοι παρρησιάζονται, καὶ τῷ μὲν ἀδικουμένῳ παρέστηκε ψῆφος ἐπίκουρος, τοῖς δ' ἀδικοῦσιν ἄμφηκες ξίφος ἐπανατείνεται. Οὐ γὰρ δὴ τὸ πρᾶον τοῦ ἤθους καὶ ἥμερον τοῖς χειροδίκαις καὶ ὑβρισταῖς καὶ κατακινδυνεύουσι τῶν πενήτων ἐπιεικεύσεται, οὐδὲ λαλήσει λόγους εἰρηνικοὺς κατὰ τὸν κριτὴν ἐκεῖνον ὃν κατακρίνει θεῖος προφήτης ὡς μὴ τοὺς ἀδικοῦντας ἐλέγχοντα, ἀλλ' ἀποτόμως καὶ μισοπονήρως ἐπεξελεύσεται, καὶ ὅσῳ καταγλυκαίνει τοὺς ὑγιαίνοντας τὰς ψυχάς, τοσούτῳ τοὺς φρονοῦντας μηδὲν ὑγιὲς ἐν δίκῃ δριμύξεται. Καθ' ὃν τρόπον καὶ τὸ

1. δεύρο. — 2. Ἐπ. Ὀδυσσ. Δ, 824. — 14. ἀποστρέφεται.

φύσει γλυκερὸν μέλι δακνηρὸν τοῖς ἠλκωμένοις καὶ νοσεροῖς σώμασι, καὶ τοὺς ἀσθενοῦντας τὰ ὄμματα παραλυπεῖ καταλάμπων ὁ γλυκὺς οὗτος ἥλιος· ἵνα μὴ λέγω καὶ Χριστὸν τὸν νοούμενον ἥλιον, ὃς φῶς ἐστιν ἱλαρώτατον τοῖς καθαροῖς δῆλα δὴ τὴν διάνοιαν, ἀλλὰ πῦρ καταναλίσκον τοῖς ἀξίοις πυρώσεως <ἢ καύσεως.>

12. Νῦν ἡ Ἑλλὰς μέγα φρονεῖ καὶ ἁβρύνεται μειδιῶσα τὴν ὄψιν καὶ γεγανωμένη τὸ πρόσωπον οἷς ἐνεκολπίσατό σε τεθειμένον εἰς τὰ θεμέλια ταύτης λίθον πολυτελῆ, ἔντιμον [ἐκ] τῆς μεγάλης || ἐκλελεγμένον συγκλήτου καὶ τῷ δικαστικῷ κύκλῳ, ὅσα καὶ δακτυλίῳ χρυσῷ διαυγῆ σφενδόνην, ἐναποστράπτοντα. Καί σε κυδαίνει καὶ περιπτύσσεται, καταγαγόντα μὲν νόμους καὶ δίκας ἐκ μακρᾶς ὑπερορίας ἐπὶ τὰ πάτρια, ἀποδεδωκότα δὲ πολιτείαν ταῖς πόλεσιν ἔννομον, καὶ προσφύεται περιχαρῶς καὶ περιέπει παντοδαπῶς ὡς συνοικιστήν, ὡς ἀνακομιστὴν τῆς ἀρχαίας εὐδαιμονίας καὶ μάχαιραν αὐτοκρατορικὴν οὐ φορουμένην εἰκῆ, ἀλλὰ παροξυνομένην ὡς ἀστραπὴν καὶ διαιροῦσαν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. Ναὶ μὴν καὶ ὡς χεῖρα θείαν τε καὶ βασίλειον καὶ ἀνθεξομένην κρίματος, ὡς ἠκούσαμεν· διὰ σοῦ γὰρ ὅσα καὶ δεξιᾶς ἐπιλαβέσθαι τοῦ Πανελληνίου πίπτοντος ἤδη βασιλεὺς ὁ γενναῖος ἐσκήψατο καὶ πρὸς τὴν προτέραν εὐνομίαν ἀνορθοῦν ἐπεβάλετο.

13. Καὶ τίς ἂν ὁ παρ' ἡμῶν χαριστήριος τῷ κρατίστῳ βασιλεῖ γένοιτο; Νῦν ἔδει ποιητικήν τε καὶ σοφιστικὴν ἀναβιῶναι καὶ ῥητορικὴν ἀναλαβέσθαι μένος

5. δηλαδή. — 10. || Κώδ. 41, α. — 12. σφενδόνη. — 21. τέ.

ἐκεῖνο καὶ θάρσος, καὶ ἄλλην ἄλλο τι τῶν τοῦ μεγαλουργοῦ βασιλέως κατορθωμάτων ἀπολαβοῦσαν ὑμνεῖν. Ὡς ἡμεῖς γε οὐδὲ τὴν περὶ ἡμᾶς ταύτην εὐεργεσίαν κατ' ἀξίαν ᾄσομεν, πολλοῦ δέομεν τῶν καθ' ἅπαξ πεπραγμένων τῷ βασιλεῖ κεφαλαιωδῶς ἐπιμνησθῆναι καὶ τὴν πρέπουσαν σφίσιν εὐφημίαν ἀφοσιώσασθαι.

14. Πλὴν εἰ καὶ ἄλλως οὐχ οἷόν τε πάντα διέξεσθαι ὅσαπερ ἔγνωμεν αὐτοὶ καὶ ὀφθαλμοῖς ἰδόντες ἐξέστημεν, ἐπιτροχαστέον ὡς οἷόν τε καὶ πρό γε τῶν ἄλλων ὅπως ἡ τῶν Ῥωμαίων ἀρχὴ πλημμελῶς καὶ τεταραγμένως ἐφέρετο. Καὶ παρὰ τοῦτο αὐτὴ μὲν ἀνεκαλεῖτο τὸν ἐρώμενον αὐτῆς πάλαι μέγαν Ἀνδρόνικον, ἐφ' ᾧ καταλῦσαι μὲν τὴν ὑφέρπουσαν ἤδη λατινικὴν τυραννίδα καὶ τῷ τῆς βασιλείας ἐπαναφυομένῳ μοσχεύματι ὡς σμῖλαξ περιπλεκομένην, κατὰ τὴν τῆς προφητείας εἰκόνα, ἀπαλλάξαι τε τὴν Κωνσταντίνου ἀτόπων καὶ ἀγεννῶν ἐραστῶν ἄνω κάτω κυκώντων τὰ Ῥωμαίων πράγματα. Αὐτὸς δὲ ἠγαλλιάσατο ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ, οὐ παμπόλλην μὲν ἀσπίδα, παμπόλλην δὲ ἵππον ἄγων, ἀλλὰ τοῦτο μὲν τῷ δικαίῳ εὖ ὡπλισμένος, τοῦτο δὲ καὶ ὡς εἰς ἐρῶσαν πόλιν ἐλαύνων εὔζωνος. Καὶ δὴ ὁ μὲν Ἰξίων ἑάλω παραχρῆμα καὶ δέδωκε δίκην κατάλληλον οἷς παρ' ἀξίαν ἐπείρα τηλικοῦτον βασιλείας κάλλος καὶ συλήσειν ᾤετο· τὸ δὲ περὶ ἐκεῖνον ξενικόν, οὓς ἄλλον ἐξ ἄλλου ληστηρίου πολλοῖς θη-

1. ἀλλό. — 4. καθάπαξ. — 7. οὐχ' οἷον τε πάντων· Περὶ δὲ τοῦ ἀναγκαίου τῆς διορθώσεως ἔπιθι Ἰλιάδ. I, 61 καὶ Τ, 186. — 9. οἷον. — 12. ἐφῶ. — 14. ἐπαναφυομένην. ὡ σμίλαξ. — 15. Ἐπ. Ναούμ, I, 10. — 16. τὲ. — 22. παραχρῆμα.

σαυραῖς μισθωσάμενος ἀδαμαντίνην, ὡς ἐδόκει, τῆς τυραννίδος φρουρὰν συνεστήσατο, εἰς θάλασσαν διερρύη ἀθρόον καὶ ᾤχετο σκεδασθὲν, ὅσαι τέως οὐκ ἔφθασαν τοῦ βασιλικοῦ ξίφους γενέσθαι πάρεργον, ἀλλ' ὡς ὕδωρ ἐξεχύθησαν κατὰ θαλάττης τὰ ὀστᾶ ταῦτα τῆς τυραννίδος, οἷς ἐδραζομένη πρὸς μικρὸν ἐστηρίζετο.

15. Πῶς ἂν ἐπὶ τούτοις τὴν τηνικαῦτα αἰθρίαν εἴποιμι; ἣν εἴδομεν ἄσμενοι, τῆς ἐπικειμένης ὁμίχλης ἀπαλλαγέντες, ἢ τὸ τῆς πόλεως ἑόρτιον σκίρτημα; Ἀνεπέτασε μὲν ἡ Κωνσταντίνου τὰς πύλας ἁπάσας, πολῖται δὲ πάντες κατὰ τὰ ἔθνη τῶν μελισσῶν ἐξεχέοντο, ἐζεύγνυτο δὲ μικροῦ ταῖς τριήρεσι καὶ ταῖς λέμβοις ὁ τῆς Προποντίδος πορθμός, ἄταλλε δὲ οἶμαι καὶ κήτη καὶ δελφῖνες ἐσκίρτων, τὰ ἐμβατήρια τῷ βασιλεῖ προσαθύροντες. Τάχα καὶ Προποντὶς αὐτὴ τὸ ἁλμυρὸν ἀπεκλύσατο ῥεῖθρον τῷ τῆς ἡδονῆς ῥεύματι καὶ εἰς γλυκὺν καὶ πότιμον μετεβάλετο ποταμόν. Ἔλαθε δὲ οὕτω μεταβαλοῦσα ὡς ἂν μηδενὸς γευσαμένου διὰ τὸ μὴ ἄλλο τι διψᾶν τὸ τηνικαῦτα τοὺς πάντας ἢ τὸν || πάμμεγαν ἰδεῖν Ἀνδρόνικον χρόνιον φανέντα καὶ ὡς ποταμὸν εἰρήνης ἐπὶ τὴν οἰκείαν πηγὴν ἀνακλώμενον καὶ μυρία Ῥωμαίοις ἀγαθὰ φέροντα, δεσμίων λύσιν, φυγάδων κάθοδον, τυραννίδος κατάλυσιν καὶ τὸ μηκέτι στασιάζειν τηλικαύτην ἀρχὴν καὶ αὐτὴν ὑφ' ἑαυτῆς φθείρεσθαι. 16. Αὕτη τῶν ῥωμαϊκῶν πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη· οὗτος ὁ βασιλικὸς ἀγὼν τὸν τῆς μεγαλοπόλεως φρικώδη σεισμὸν ἔστησε, μᾶλλον δὲ τὸν τῆς οἰκουμένης, ὡς εἰπεῖν, κλόνον ἔπαυσε, καὶ τοῦτο πρῶτον τῇ βασιλίδι τῶν πό-

19. ἄλλό. τοτηνικαῦτα — 20. || Κώδ. 41, 6.

λεων τῶν περὶ αὐτὴν ἀκαθέκτων καὶ θερμῶν ἐρώτων ἀντέδωκεν ἀπαλλαγῆναι, τυραννικῆς καὶ λατινικῆς παροινίας, καὶ καθαρὰν καθαρῶς βασιλεύειν ἐπιμιξίας βαρβαρικῆς.

17. Εἶτα κατὰ τὸν πολυπλανῆ καὶ πολύφρονα ἐκεῖνον ἥρωα ἐκποδὼν ποιεῖται τοὺς ὅσοι τὴν θεόθεν ἀφωρισμένην αὐτῷ καὶ προηρμοσμένην βασιλείαν μειρακιωδῶς καὶ μοχθηρῶς ἐμνηστεύοντο καὶ συνετάραττον τὴν ῥωμαϊκὴν μοναρχίαν, εἰς πολυκοιρανίην καταμερίζοντες. Καὶ ὡς ἐπιστημονικώτατος μουσικὸς κίθαριν ἤδη λελυμένην σοφῶς ἡρμόσατο, οὕτω καὶ βασιλεὺς ὁ σοφώτατος τὴν ῥωμαϊκὴν ἡγεμονίαν ἐκμελῶς ἀγομένην καὶ φερομένην καὶ λυθήσεσθαι κινδυνεύουσαν εἰς τὸ ἐμμελὲς μετερρύθμισε. 18. Βαβαί· ἡλίκος κλύδων τὴν βασιλίδα πόλιν, μᾶλλον δὲ τὸν ὑπ' αὐτὴν ἅπαντα κόσμον περιεκάχλαζε πρὶν ἢ τὸν δεξιὸν τουτονὶ κυβερνήτην ἐπιλαβέσθαι τῆς κοινῆς διοικήσεως, οἵα δὲ ἄρτι γαλήνη διαγελᾷ τῷ παντὶ καὶ συναγάλλεσθαι παρασκευάζει τῷ βασιλεῖ, κεχρισμένῳ τὸ τῆς ἀγαλλιάσεως ἔλαιον, πολέμου μὲν πεπαυμένου παντὸς, στάσεως δὲ πάσης ἀπεσβεσμένης, τῆς χαλεπωτέρας τοσούτῳ πολέμου ὅσῳ τῆς εἰρήνης πόλεμος.

19. Ἐντεῦθεν τὸ κύκλῳ πολέμιον παρεῖται τῷ δέει τὰς χεῖρας καὶ τῶν ὅπλων λαθόμενον πρὸς ἱκέσιον σχῆμα ῥυθμίζεται, καὶ πρέσβεις, ἄλλοθεν ἄλλος ἥκοντες, τῷ βασιλείῳ στεφάνῳ τὰ ἐπινίκια προσαναπλέκουσι στέμματα. Ὁ νέος Ἰσραὴλ ἅπας ἔγνω τὸν ἑαυτοῦ βασιλέα Δαυὶδ, ὃν πάλαι μὲν θεὸς εἰς τὸ τῆς αὐτοκρατορίας ἐδικαίωσε στέμμα, φθόνος δὲ διώκων οὐκ

1. αὐτῶν. — 16. πρινή.

ἔληγε. Καὶ πῶς γὰρ οὐκ ἔμελλεν ὃς καὶ πρὸς τὸν ἕν γέ τι τῶν ἀγαθῶν ἔχοντα ταχὺς ἕρπει καὶ ἀναποσπάστως ἐμφύεται; Πολλοῦ ἔδει τὸ βάσκανον ἐπιμῦσαι βλέφαρον ἐπὶ τῷ πεπλουτηκότι πᾶσαν φιλοτιμίαν φύσει τε καὶ ἄνωθεν ἐπιρρέουσαν, ἡρωϊκὴν ἀνδρείαν φημὶ, φρόνησιν ἀκροτάτην, ἦθος μεγαλοπρεπὲς, κάλλος ἀμήχανον, συνελόντα εἰπεῖν, τὸ εὖ γεγονέναι καὶ ψυχὴν οὕτως ἡρμόσθαι καὶ σῶμα ὡς οὐκ ἦν ἄλλως κάλλιον.

20. Διὰ ταῦτα οὐ νεάνιδες μόναι τῷ μεγαλουργῷ Ἀνδρονίκῳ ἐν ᾄσμασι καὶ χοροῖς τὰς μυριάδας ἀπεχαρίζοντο, ἀλλ' ἀνὰ στόμα πᾶν ὁ μέγας Ἀνδρόνικος ᾀδόμενος ἔκειτο καὶ οὐδεὶς ἦν τῶν ἁπάντων ὅς οὐ τῆς μεγίστης ἀρχῆς ἐπεψηφίζετο ἄξιον καὶ τὸ μέλλον ὡς παρὸν ἑώρα καὶ προηγόρευε. Τὰ γάρ τοι θεῖα καὶ ὑπὲρ φύσιν πλεονεκτήματα τῆς ὑψηλοτάτης ψυχῆς οἷά τινα ἐναργῆ σύμβολα τὸ ἐσόμενον προεσήμαινον, μᾶλλον δὲ ἡ ἄνωθεν, οἶμαι, ψῆφος συμπείθουσα ἦν ἀφανῶς τοὺς πάντας ὀπίσω τοῦ θεοειδοῦς ἀκολουθεῖν Ἀνδρονίκου, κατὰ τὴν σολομώντειον νύμφην τετρωμένους τῆς αὐτοῦ θερμῆς ἀγαπήσεως. Ἀμέλει τοι ἐμνήστευον μὲν ἔκτοτε τὴν βασιλείαν αὐτῷ οἷς τοῦ πάντη πάντως ἐκβησομένου κατεμαντεύοντο· ἐμνήστευον μὴν καὶ δεινοὺς ἀγῶνας οἷς τὸν φθόνον διὰ τῶν ἐπαίνων ἐκκαίοντες μᾶλλον ἠρέθιζον. Φιλοῦσι γὰρ ἐπὶ πλέον ἀναφλέγειν τὰς βασάνους οἱ τῶν φθονουμένων ἔπαινοι.

21. Ἐντεῦθεν τὸν καλὸν Ἰωσὴφ εἶχεν αὖθις ὁ λάκκος καὶ ζοφερὸν δεσμωτήριον· μᾶλλον || δὲ λακωνικός τις κεάδας ἢ λαβύρινθος κνώσιος ἢ Ἅδου κευθμὼν

5. τὲ. — 8. ἄλλος. — 22. μὲν. — 25. τοὺ; βασ. — 27. || Κώδ. 42, α.

ἄφυκτος διὰ τοὺς τῶν θεοπέμπτων ὀνείρων χρησμούς, δι' ὧν τὸ θεῖον τὴν μέλλουσαν τοῦ ἀνδρὸς δόξαν προέγραφε, καὶ τῷ γενναίῳ Σαμψὼν ἡ μαινὰς βασκανία δεσμοὺς <ἀλύτους> ἀρρήκτους ἐπέβαλλε, πειρωμένη περιελεῖν τὴν μεγάλην τοῦ γένους ἰσχὺν καὶ θεόσδοτον.

22. Ἦν δὲ ἄρα ταῦτα πάντα κενὰ καὶ λεπτή φασιν ἀτεχνῶς κρόκη συνδέουσα λέοντα. Οὔτε γὰρ καρτερώτατον ἔρυμα οἷόν τε ἦν κατέχειν ἐπὶ πολὺ ὃν ἔδει παρὰ τοῦ ἡλίου καὶ τῆς σελήνης ὅσον οὐδέπω προσκυνηθῆναι κἀπὶ τὸ βασίλειον ἀναβιβασθῆναι ἅρμα, οὔτε μὴν τὸν καθ' ἡμᾶς Σαμψὼν κατεργασθῆναι παρὰ βασκανίας, ὡς ἐπὶ τὴν ἱερὰν αὐτοῦ κεφαλὴν ἀναβῆναι σίδηρον καὶ ψιλωθῆναι βοστρύχων ἀνειμένων τῷ τοῦ πνεύματος χρίσματι, κἂν ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησε δόλον καὶ πρὸς ἀλλοφύλους ἐκτοπίσασα ὑφῆκε καὶ αὐτὰ ἐκκόπτειν τὰ ὄμματα.

23. Ἐφυλάττετο μὲν οὖν διὰ ταῦτα τὸν φθόνον καὶ τῶν βασκάνων βλεμμάτων ἀπωτάτω διέτριβεν, ᾤκει δὲ τὴν ἀλλοδαπήν, τῶν φιλτάτων ἀπερρωγὼς καὶ τοῖς ἀλλοεθνέσι παρέβαλλεν ὡς Μωσῆς μὲν τοῖς Ἀραβίοις, Δαυὶδ δὲ τοῖς ἀλλοφύλοις καὶ τοῖς Αἰγυπτίοις Ἰωσήφ, δίκαιοι πάντες οὗτοι καὶ φθόνου φυγάδες καὶ συγγενῶν Τελχίνων φιλοξένους ὀθνείους ἀνταλλαττόμενοι. Οἷς καὶ ὁ ἡμέτερος βασιλεὺς συνταττόμενος, ποίας οὐχ ὑπέστη δυσχερείας ὁ πολύμοχθος εἴπερ τις ὡς καὶ παρὰ πάντας ἐπίφθονος; Τίνα οἰκουμένην ἢ ἀοίκητον οὐκ ἐπῆλθε, ποίαν ὑγρὰν, ποίαν ἤπειρον, ποῖον [οὐ]

7. Ἐπ. Λουκ. περὶ τῶν ἐπὶ μισθῷ συν. 30. — 8. οἷον, — 10. ἅρμα. — 13. Ἐπ. Ἰεζεκ. 44, 20. — 15. Ἐπ. Ψαλμ. 51, 4. — 19. ἀπερρογώς. — 25. εἶπέρ.

διεπεραιώσατο πορθμόν, ποῖον ποταμὸν ναυσίπορον; ὅτε καὶ τῆς θείας ἐκείνης φωνῆς ἐναργῶς ἤκουεν· «ἐμὸς εἶ σύ, καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος μετὰ σοῦ εἰμι καὶ ποταμοὶ οὐ συγκλείσουσί σε, καὶ ἐὰν διέλθῃς διὰ πυρὸς οὐ μὴ κατακαυθῇς, ὅτι ἐγὼ κύριος ὁ θεὸς ὁ σώζων σε.» 24. Οὐ γὰρ δὴ τῷ δεῖνι ἔθνει παρῴκησεν ἢ τόδε τὸ σπήλαιον ᾤκησεν ἢ ἐπὶ τόδε τὸ ὄρος μεταναστεύων ὡς στρουθίον ἀνέπτατο ἢ παρὰ τὸν δεῖνα ἑτερόφυλον βασιλέα ἵετο, ταῦτα δὴ τὰ τῶν ῥηθέντων δικαίων διὰ τὸν διώκοντα φθόνον ἀγωνίσματα· ἀλλὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν σχεδὸν αὐτοπτήσας ἐγεωγράφησε καὶ πᾶσι συνέμιξεν ἔθνεσιν, ὧν ἐνώπιον οἷα σκεῦος ἐκλογῆς τὸ τοῦ Κυρίου ἀποστολικῶς ἐβάσταζεν ὄνομα. Τὰ δέ, θεὸν ὡς ὑποδεχόμενα, εἶδος ἐθαύμαζον καὶ μέγεθος, φρόνησίν τε καὶ ἀνδρείαν καὶ τὴν λοιπὴν ἀρετὴν πᾶσαν. Ἦν τὸ μὲν συγγενὲς φθόνου εἶχεν ὑπόθεσιν, τὸ δ' ἀλλόφυλον ἀγάπης ὑπέκκαυμα. Ὅσον γὰρ δι' αὐτὴν ἐπὶ τῆς οἰκείας μεμίσητο, τοσοῦτον ἐπὶ τῆς ἀλλοδαπῆς ἕνεκεν ταύτης πεφίλητο. Ὦ τῆς ἀλλοκοτίας τοῦ πράγματος! Δι' ἀρετὴν ἠλλοτριοῦτο τῶν οἰκείων καὶ δι' αὐτὴν τοῖς ἀλλοτρίοις ᾠκείωτο, καὶ οἷς κεκινδύνευκεν οἴκοι μικροῦ, τούτοις ἐπὶ τῆς ὀθνείας ἐσώζετο, ναὶ μέντοι καὶ ἔσωζεν ἔστιν οὗ τοὺς ἐγχωρίους ὁ ἔπηλυς.

25. Ἐπτερύξατο μὲν γὰρ ὁ ὑψιπέτης οὗτος ἀετὸς μέχρι καὶ εἰς Παλαιστίνην αὐτήν, τοὺς παγγλωσσίας

3. εἰμι. — 18. οἰκίας. — 25. παγγλωσσίας. Ἐπ. Πινδ. Ὀλυμπ. Β, 156. «λάβροι παγγλωσσίᾳ, κόρακες ὥς.» Ἴσως δὲ τὸ παρ' Ἀκομινάτῳ χωρίον ὑποδηλοῖ τὴν ἐπὶ τῶν χρόνων αὐτοῦ ὕπαρξιν ἔν τισι τῶν κωδίκων τῆς γραφῆς παγγλωσσίαι κόρακες ὥς.

ἐάσας κόρακας κρώζειν ἀπέραντα ὅπου τὸ πτῶμα τῆς φύσεως ὁ Χριστὸς πεσὼν ἤγειρε. Βάρβαροι δέ τινες κατὰ τῆς ἁγίας ἐπιστρατεύουσι πόλεως κἂν ὑπὸ τοῖς πολεμίοις ἡ κλίνη τοῦ ἀληθινοῦ Σολομῶντος ἐγένετο, ἐφ' ἧς ἀναπεσὼν ὡς λέων κεκοίμητο (ἐρήμη γὰρ τῶν κυκλούντων αὐτὴν δυνατῶν καὶ φυλασσόντων τηνικαῦτα καταλέλειπτο, ὡς τοῖς πολεμίοις ἐπεξιόντων ἑτέρωθι), εἰ μὴ οὗτος ὁ πολλοῖς δυνατοῖς ἰσοστάσιος τῷ τότε παρὼν τὴν ἐπέλευσιν ἀπεώσατο. Οὕτω Χριστός, || ὁ παρὰ τῶν ἰδίων φθόνῳ διωχθεὶς καὶ τοῖς ἔθνεσι προσδεχθείς, τὸν ταὐτοπαθῆ λαμπροῖς τροπαίοις ἐδόξασεν. Ἐθαύμασαν ἐπὶ τούτοις τὴν λελογισμένην τοῦ αὐτοκράτορος τόλμαν καὶ τὰ στρατηγικώτατα ἔργα οἱ τοῦ κυριακοῦ τάφου προκινδυνεύοντες Γερμανοὶ καὶ τὴν ἐπὶ τῇ πολεμικῇ ἐμπειρίᾳ κατεσπακότες ὀφρῦν ταπεινὸν ἔβλεψαν, ὡμολόγησάν τε ἀήττητον καὶ ἀπαράβλητον τὰ στρατηγικὰ καὶ πολέμια καὶ τῆς τῶν Ῥωμαίων ἀρχῆς κληροῦχον ἔσεσθαι προηγόρευσαν.

26. Ἔδει δὲ ἄρα καὶ τοῖς λοιποῖς ἔθνεσι τὴν τηλικαύτην ἀρχὴν γνωρισθῆναι καὶ ὀφθαλμοῖς αὐτοῖς θεαθῆναι ὃν ἡ φήμη προδιεθρύλησεν, ἵν' ὑπὸ κοινῷ θεάτρῳ τῷ κόσμῳ κατὰ τοῦ φθόνου στεφανωσάμενος παρὰ πάντων ἀνθρώπων ἐπιψηφισθῇ τῆς βασιλείας Ῥωμαίων ἄξιος καὶ μηδεὶς ὑπολειφθῇ τῆς τοιαύτης χειροτονίας ἀπόψηφος. Διὰ ταῦτα οὐκ ἐπενύσταξε τὸ τοῦ φθόνου βλέφαρον, ἀλλὰ τὰ κατὰ Παλαιστίνην πεπραγμένα περιεργότερον ἐδεδόρκει καὶ βαρυζηλότερον. Καὶ γράμ-

10. || Κώδ. 42, 6. — 11. ταυτοπαθῆ. — 24. προδιεθρύλλησεν. — 25. ἐπενύσταξε (τὸ πρῶτον: ἐνύσταξε).

ματα στέλλονται παρὰ χρῆμα ·φαρμάκῳ βασκανίας ὅσα καὶ μέλανι κεχαραγμένα καὶ ὑποσεσημασμένα δι' αἵματος. Φόνον γὰρ ἀτεχνῶς ἐκεῖνο τὸ ἐρυθρόδανον ἔσταζεν, ἀλλ' εἰς κενὸν καὶ τὰ τῆς πείρας ἔσχασε ταύτης. Πρότερον γὰρ τοὺς ἐν οὐρανῷ δύο φωστῆρας μεγάλους ἔσβεσεν ἢ τὸν ὡς κόρην ὀφθαλμοῦ παρὰ θεοῦ φυλαττόμενον ἐλωβήσατο. Καὶ γοῦν εἰς ὄψιν ἦλθε τῷ γενναίῳ τὰ γράμματα, φθόνου, εἴποι ἄν τις, βέλη πτερόεντα.

27. Ἐπεὶ [δὲ] καὶ διὰ τοσοῦδε τὸν φθόνον ἐπιτοξαζόμενον ᾔσθετο, μεθίσταται κἀκεῖθεν καὶ φειδοῖ τῶν διωκόντων ἐξ ἔθνους εἰς ἔθνος διήρχετο καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. Οὐκ ἀφῆκεν θεὸς ἄνθρωπον ἀδικῆσαι αὐτὸν καὶ ἤλεγξεν ὑπὲρ αὐτοῦ βασιλεῖς «μὴ ἅπτεσθε τοῦ Χριστοῦ μου, μηδ' ἐν τῷ ὑπολείμματι τοῦ Ἰακὼβ πονηρεύεσθε.» Καί, τὸ καινότατον, οὐχ ὡς ἐξ ἀλλοδαπῆς ἥκων μεθ' ἱκετηρίας τοῖς ὁπηδήποτε παρέβαλλεν ἄρχουσιν· ἀλλ' ὡς εἰς κεφαλὴν ἐθνῶν καταστὰς καὶ οἷα μονάρχης ὑποκειμένοις σατράπαις μετὰ κυριότητος προσεφέρετο, πλείους τῶν τετρακοσίων οἰκογενῶν τοῦ Ἀβραὰμ ἐπαγόμενος, ἐξ οὗ δῆτα κατ' ἐκεῖνον οὐκ ἀθεεὶ τῆς ἐνεγκαμένης ἀποδημήσειε, καὶ ἐν ἔθνεσιν ὑπῆρχεν ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν κτήνεσι καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων διέβαινε· καὶ οὐδέν τι τοσοῦτον οὑτοσὶ αὐτοχθόνων ἐνεπορεύσατο, ὧν εἶδεν ἄστεα καὶ νόον ἔγνω, ὅσον ἐκεῖνοι τοῦ ξένου τοῦδε μᾶλλον ἀπώναντο, βουλῆς κοι-

1. παραχρῆμα. — 4. ἔσταζε. — 8. εἴπη. — 15. Ἐπ. Ψαλμ. 104, 15. Παραλειπ. Α' ις' 22. μὴ δ'. ὑπολήμματι. — 21. ἀβραάμ.

νωνοῦντες καὶ συμμάχῳ εἴτ' οὖν ἐπικούρῳ χρώμενοι καὶ τακτικοὺς θεσμοὺς διδασκόμενοι, οὓς ὑπὸ τοιούτῳ διδασκάλῳ οὐδ' οἱ μεγάθυμοι μανθάνειν ἀπηξίουν Ἴϐηρες.

28. Οὐκ ἔστι γὰρ ὅπῃ παραϐαλὼν οὐκ ἠγαπήθη μετὰ πολλοῦ θαύματος καὶ τοὺς γευσαμένους τῆς αὐτοῦ ἀρετῆς ἀνηρτήσατο, ὡς παρόντα μὲν παρὰ παντὸς φιλοφρονεῖσθαι καὶ τῶν μεγίστων ἀξιοῦσθαι καὶ τῆς ἀρχῆς κοινωνὸν γίνεσθαι, δεῆσαν δέ ποτε καὶ ἀπιέναι, μόλις ἐκφεύγειν τὰς χεῖρας αὐτῶν, κατεχόντων παρ' ἑαυτοῖς καὶ πειρωμένων τοσοῦτον ἀγαθὸν ἰδιοῦσθαι καὶ οὐκ ἐώντων ἑτέρωθι φέρεσθαι.

29. Ὦ τῆς ἀηττήτου καὶ βιαίας ἀρετῆς, ἥτις ὑπερσχοῦσα μὲν τηλικοῦδε φθόνου περιεγένετο, τοσοῦτον δὲ ἀλλοεθνὲς ἐθελούσιον ἐδουλώσατο, οὐχ ὅπλοις ἡττώμενον, ἀρετῇ δὲ ψιλῇ ὑπαγόμενον. Ἧς ἔδει γενέσθαι και τοὺς βαρϐάρους μάρτυρας ἀπαραγράπτους μὲν ἅτε δὴ πολεμίους φύσει, κηρύξοντας δὲ τἀληθὲς ὡς μὴ προληφθέντας φθόνῳ καὶ οὕτω Ῥωμαίοις ἑτερογλώσσους συμφέγξασθαι πάντας κράτιστον εἶναι πάντων ἐπ' ἀρετῇ τὸν μέγαν Ἀνδρόνικον, καὶ παρὰ τοῦτο πάντων μὲν κρατέειν δίκαιον, πάντεσσι δ' ἀνάσσειν ἄξιον κἂν τὸ φθονοῦν συγγενὲς ἀπηρέ || σχετο, τὸ τοῦ λόγου, διῶκον ἀκίχητα καὶ μηδέν τι πλέον ἐξανύον, ὅτι μὴ διὰ τῆς ἐπηρείας τὴν παρὰ πάντων ἀνάρρησιν δέξασθαι καὶ λαμπρότερον ἀποδειχθῆναι καὶ τοῦ βασι-

6. αὐτοῦ. — 17. ἀπαραγράπτους σημαίνει πιθανώτατα ἐνταῦθα τὸ μὴ πλανωμένους. Ἔπ. Συνεσ. ἐπιστ. 4, σ. 162.— 22. Ἔπ. Ἰλιάδ. Π, 172. — 23. || Κώδ. 43, α. — 24. Ἔπ. Ἰλιάδ. Ρ, 75. — 26. ἀποδεχθῆναι.

λείου στέμματος ἀξιώτερον· οἷς μὴ μόνον ἐκ γένους εἰς τοῦτο καὶ ἀρετῆς δεδικαίωται (διὰ τριγονίας γὰρ ἐξῆπται τῆς ἀρχηγέτιδος καὶ βασιλικῆς ῥίζης τῶν Κομνηνῶν), ἀλλὰ καὶ ὡς ἀμυθήτων πόνων καὶ μεγάλων ἀγώνων ἔπαθλον κατεκτήσατο κατ' ἐκείνους τοὺς λίαν φθονηθέντας δι' ἀρετὴν, Ἰωσὴφ, φημὶ, καὶ Δαυῒδ, οἳ μετὰ πολλὰ τοῦ φθόνου παλαίσματα (τὸ λόγιον γὰρ Κυρίου ἐπύρωσεν αὐτοὺς «σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτῶν») τὰ τῆς βασιλείας ἐνεδήσαντο στέμματα.

30. Μᾶλλον δὲ ὡς ὁ δεσπότης Χριστὸς, φύσει ὢν βασιλεὺς, πολλὰ πρότερον πεπονθὼς διὰ φθόνον, εἶτα εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ λέγεται, οὕτω καὶ οὗτος ὁ τοῦ Κυρίου χριστὸς παππῷον μὲν κλῆρον τὴν βασιλείαν αὐχῶν, πατρῷον δὲ ὄφλημα διαδεδεγμένος, ὅμως τῷ οὕτω προσεχεῖ αἵματι καὶ τοὺς ἐκ τῶν ἀγώνων ἱδρῶτας ἀνέμιξεν ὡσεὶ θρόμβους αἵματος στάζοντας καὶ οὕτω διπλῇ καὶ βαθείᾳ βαφῇ τὴν ἁλουργίδα βαπτομένην ἐνεπορπήσατο μᾶλλον δὲ ὡς δι' ἐντρίτου πλέγματος τὰ τῆς ἀρχῆς συνέδησε πείσματα, γενῆθεν δῆλον ὅτι καὶ ἐξ ἀγώνων ἀρετῆς. Ἀμέλει καὶ κατὰ τὴν σοφίαν Σολομῶντος οὐ διαρραγήσεται.

31. Οὕτω θειότερα τῷ βασιλεῖ τὰ τῆς ἀρχῆς καὶ τῶν πώποτε ἀρξάντων βασιλικώτερα. Ἐκείνων γὰρ οἱ μὲν ἐκ σπαργάνων αὐτῶν ὥς τινα κλῆρον πατρόθεν διεδέξαντο, πρὶν ἢ πεῖραν δοῦναι εἰ ἄξιοί εἰσι τοῦ τηλικοῦδε πράγματος καὶ οἷοί τε σώζειν ὧν ἄρξουσιν, οἱ δὲ, μὴ διαδοχῇ γένους δικαιούμενοι, ἀρετῆς ἆθλον ἢ δῶ-

2. δεδικαίωτε. — 8. Ἐπ. Ψαλμ. 104, 8. — 9. ἐνεδήσατο. — 12. αὐτοῦ. — 15. καὶ τῆς. — 20. δηλονότι. — 25. πρινή.

ρον, ὡς εἰπεῖν, τύχης ἐδέξαντο. Ὁ δ' εὐδαιμονέστατος ἡμῶν βασιλεὺς οὐχ ἧττον γένους κληροδοσίαν ἢ πόνων καὶ ἀρετῆς ἆθλον τὴν ἀρχὴν εἴληφεν, ὡς, εἰ καὶ θάτερον ἴσως ἀπῆν, πάντων προτετιμῆσθαι θατέρου δήπουθεν ἕνεκα. 32. Τίς γὰρ ἢ τῷ βασιλείῳ αἵματι προσεχέστερος ἢ παντοίαις ἀρεταῖς βασιλεύων καὶ πρὸ τοῦ στέμματος; Ἀμέλει τοι καὶ ὡς τὰ τῆς βασιλείας ἐσάλευεν ἐπὶ σφαλεροῦ καὶ τοῦ κυβερνήσοντος ἐδεῖτο καὶ σώσοντος, ὃν μόνον διάδοχον βασιλείας εἶπέ τις παλαιὸς λόγος καὶ καλῶς ἔχων, οὐκ εἶχεν οὐδεὶς ἐφ' ὁντιναοῦν ἀτενίζειν ἕτερον ἢ ἐπὶ τὸν φύσει τε καὶ ἐκ παίδων κατὰ τοὺς σκύμνους τῶν λεόντων ἀρχικώτατον, ἀλλὰ δὴ καὶ ἕως γήρως καὶ πρεσβείου τὸ καλῶς ἄρχειν ἐκμελετήσαντα οἷς τὰς ἑκασταχοῦ δεδοκίμακεν ἡγεμονίας πείρᾳ μακρᾷ καὶ οἷός τε ἦν τὸ ἀφ' ἑκάστης ἄριστον ἐπιλέξασθαι καὶ οὕτω τοῖς ἐξ ἁπασῶν καλοῖς ὑποδείγμασι τὰ τῆς αὐτοκράτορος ἀρχῆς ἀκριβώσασθαι· καθ' ὃν τρόπον καί τις κομψὸς ἀγαλματουργός, περικαλλὲς εἶδος τυπῶσαι προθέμενος, τὰς ἐπ' αὐτοῦ θρυλουμένας ἐπὶ κάλλει παρθένους προεστήσατο, εἶτα περιαθρῶν ἑκάστην καθ' ὃ ἂν μέλος <ἢ μέρος> πλεονεκτοῦσαν τῶν λοιπῶν συνεώρα παρθένων ἀπεμάττετο ἐκεῖνο τέχνῃ δεινῇ καὶ κάλλος ἓν ἄριστον συνεμέτρει καὶ συνετίθει, πρὸς τὰ ἐξαίρετα ἑκάστης ἐπιλέγδην ἐπακριβούμενος.

33. Ἐπεβοῶντο οὖν πάντες, χεῖρας ἱκέτιδας ἀνατείνοντες, τὸν διὰ ταῦτα πάντα ἐπὶ σωτηρίᾳ Ῥωμαίων εἰς τόδε καιροῦ παρὰ θεοῦ φυλαττόμενον, λογιζόμενοι μὴ

11. τὲ. — 15. οἶος. — 19. θρυλλουμένας.

ἄλλως ἂν ἀπαλλαγῆναι τὴν πόλιν τοῦ ἐπὶ νεωτέρᾳ βασιλείᾳ ταλανισμοῦ ἢ διὰ καθεστηκυίας ἐπιστασίας καὶ πολύφρονος. 34. Ὁ δὲ, μήτε γήρᾳ βαρὺς ὢν εἰς τὸ δικαίων ἅψασθαι πόνων, μήτε τὸ κατ' αὐτὴν ἀσφαλὲς ἢ ἄλλως ἡδὺ τοῦ κοινῇ συνοίσοντος ἄγων ἐπίπροσθεν, ἐπέστη κατὰ καιρὸν βοηθήσων τοῖς φιλανδρονίκοις Ῥωμαίοις ὁ φιλορώμαιος μέγας Ἀνδρόνικος. Καὶ δὴ, τὰ νεωτερισθέντα εὖ διαθέμενος καὶ θᾶττον καταστείλας τοὺς νεοχμώσαντας ἢ παιδαγωγὸς ἐμβριθὴς μειρακίων ἀθύρματα ἢ ἥλιος ἀνασχὼν || ἀγεννῆ καὶ δειλὰ κνώδαλα, αὖθις ἐπὶ τὰ πρότερα ἤθη συνταττόμενος ἵετο.

35. Ἦν δὲ ἄρα τῶν πάντῃ ἀμηχάνων, ἅπαξ τὴν βασιλίδα πόλιν λαβομένην τοῦ ἐρωμένου μεθεῖναι τοῦ λοιποῦ καὶ ἀπερρωγέναι τὸ δεύτερον, τά τε ἄλλα καὶ ὅτι καταπροϊεμένης τὴν οἰκείαν σωτηρίαν τοῦτο ἦν ἀτεχνῶς. Οἰμώζουσα οὖν καὶ δακρύουσα φεύγοντα μόλις κατέσχε καὶ τὸ βεβουλευμένον πάλαι θεῷ συνεπαινέσασα ἐβεβαίωσεν, ὡς μάτην καὶ τοὺς ἐν τῇ Σιὼν λελωβημένους ἀνθίστασθαι κατὰ φθόνον τῷ Δαυὶδ καὶ ἀπείργειν πειρᾶσθαι τὴν εἴσοδον. Τὸ γὰρ κεκλωσμένον παρὰ τῶν θείων δακτύλων οὐχ οἷόν τε ὑπ' ἀνθρωπίνης ἐπινοίας ἐπιλυθῆναι. Οὐκ ὠφελήσει γάρ φησιν ἐχθρὸς ἐν αὐτῷ, οὐδὲ υἱὸς ἀνομίας προσθήσει τοῦ κακῶσαι αὐτόν, ὃν ὕψωσε δῆλα δὴ Θεὸς ἐκλεκτὸν τοῦ λαοῦ αὐτοῦ καὶ ἐν ἐλαίῳ ἁγίῳ εἰς αὐτοκρατορίαν ἔχρισε καὶ κατέστησε κύριον οὐ Ῥωμαίων μόνον ἡμῶν, πείθομαι

2. δακαθεστηκυίας. — 7. φιλορρώμαιος. — 10. ἀθύρματων. || Κώδ. 43, 6. — 15. κατὰ προεμένης. — 17. πάλαι πάλαι. — 21. οἷον. — 22. Ἐπ. Ψαλμ. 88, 23. — 24. δηλαδή. αὐτοῦ. — 26. μόνων (τὸ πρῶτον: μόνον).

δ' ὅτι κἀκείνων ὅσων ἐπῆλθε τὴν γῆν καὶ ποσὶν οἰκείοις πεπάτηκε, κατὰ Δαυὶδ ἐπιβαλὼν ἐπ' αὐτὴν τὸ οἰκεῖον ὑπόδημα καὶ τοῖς οἰκείοις δρόμοις <καὶ περιδρόμοις> γεωμετρήσας τῇ Ῥωμαίων προσαπεκλήρωσε. Καὶ ὡς τὴν Παλαιστίνην κατασκοπήσας ὁ Ἰησοῦς ἐπέβη τὸ δεύτερον καὶ κατέσχε καὶ τοῖς Ἰσραηλίταις κατεκληρούχησεν, οὕτω καὶ ὁ βασιλεὺς τῇ Ῥωμαίων προσθήσει ὁπόσην προδήλως ἔχει κατασκοπήσας. Καὶ πίονται μὲν Ῥωμαῖοι Εὐφράτου καὶ Τίγριδος, καθιππάσονται δὲ τῆς Μέσης τῶν Ποταμῶν καὶ τῶν Κασπίων πυλῶν διελάσουσι· φθάσας γὰρ ἀνεπέτασε ταύτας ὁ βασιλεὺς καὶ διώδευσε.

36. Καὶ ταῦτα μὲν δι' εὐχῆς ἡμῖν καὶ οὐκ εἰς μακρὸν ἐλπιζόμενα, τὰ δὲ μέχρι καὶ ἐς δεῦρο; ἀλλὰ καὶ ταῦτα κρείττονα ἢ κατ' ἀνθρώπου φύσιν καὶ πρὸς τὸν βεβασιλευκότα Θεὸν ὁμοιούμενα. Ὡς γὰρ δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θείου ᾄδεται θρόνου, οὕτω καὶ βασιλεὺς ἡμῶν ὁ ἀγχίθεος κρίσιν καὶ δικαιοσύνην μετ' εὐσεβείας κρηπῖδα τοῦ οἰκείου θρόνου χρυσῆν ὑπεστήσατο, ὑφ' ὧν ἀνέχεται καὶ δορυφορεῖται ὁ ὑψηλὸς αὐτῷ καὶ μετέωρος θρόνος πολλῷ τοῦ σολομωντείου ἐκείνου σεμνότερον, ταύρων προτομαῖς χειροκμήτων καὶ λεόντων ὁμοιώμασι πεποικιλμένου.

37. Θαυμαστὰ μὲν κἀκεῖνα καὶ τῆς θεοσεβείας Σολομῶντος οὐκ ἀνάξια, σύμβολα ὄντως, οἶμαι, βασιλέως ἀγαθοῦ προβαλλομένου μὲν καὶ τὸ τοῦ λέοντος ἄλκιμον καὶ ἀρχικόν, μιμουμένου δὲ καὶ ταύρου, σωφρόνως ἀγέλης ἐξηγουμένου, προστασίαν προμηθῆ

2. Ἐπ. Ψαλμ. 107, 2. ὑπ' αὐτήν. — 4. τῆς Ῥ. — 17. κρίμα. — 19. κρηπίδα. — 23. ὁμοίων.

καὶ τοῖς ἐπιβούλοις τῶν θηρίων δυσάντητον· πολλῷ δὲ θαυμαστότερα τὰ παρὰ τοῦ καθ' ἡμᾶς Σολομῶντος ἐπὶ τῷ θρόνῳ διαπεπραγμένα καὶ τοσούτῳ γεραρώτερα ὅσῳ μετὰ τοῦ σεμνοτέρου καὶ τὸ κατὰ Χριστὸν μυστήριον ἡ εὐσεβὴς ἐγκαινίζουσα βασιλεία ἱερωσύνην πάρεδρον προσλαμβάνει καὶ μερῖτιν ποιεῖ τῆς ἀνωτάτω τιμῆς.

38. Καὶ οὐχ ἡ μὲν προκάθηται σεμνὸν <ἡ σεμνῶς> ἡ δὲ κατ' ἴσον τῷ πολλῷ ἀνθρώπῳ παρέστηκεν, ἀλλ' ἐπὶ τιμῇ Χριστοῦ τοῦ παμβασιλέως ἅμα καὶ πρώτου ἀρχιερέως καὶ διεληλυθότος τοὺς οὐρανοὺς συνεδριάζουσιν ἄμφω καὶ συγκυδάζονται, ὅτι μηδ' ἀπαξιοῖ βασιλεὺς φιλόχριστος ὁμοθυμίᾳ ἐξαίρειν ἱερωσύνην, ἣν ἐκ δεξιῶν Θεὸς <ἐν Χριστῷ> συνεκάθισε. Τοῦτο γὰρ τῶν ὑπερφρόνων ἦν βασιλέων καὶ οἰομένων ἀδοξεῖν ἐν τῷ δοξάζειν τὰ τιμιώτατα. Ὁ δ', ἀκριβωσάμενος τί ποτέ ἐστι τὸ κατὰ Χριστὸν βασίλειον ἱεράτευμα, ὑφ' ἓν συνάγει τὰ θεῖα καὶ ἀρχαϊκὰ χρίσματα, τὸ ἱερατικὸν δῆλα δὴ καὶ βασίλειον, καὶ διὰ τῆς συνεδρίας συνάπτων τῇ βασιλείῳ ἁλουργίδι τὴν ἱερατικὴν διπλοΐδα, τὰ μὴ ὁμόχρωμα ποιεῖται ὁμόθρονα. Καὶ μιμεῖται μὲν κἂν τούτῳ Χριστὸν οἷς ἐνθρονίζει παρ' ἑαυτῷ τοὺς διαδόχους τῶν καθεδουμένων ἐπὶ δώδεκα θρόνους καὶ κρινούντων || μετὰ Χριστοῦ, ὑπερβάλλει δὲ Ἀβραὰμ οἷς οὐκ ἀποδεκατοῖ τὰ τῆς τιμῆς τοῖς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερατεύουσιν, ἀλλὰ προτίθησι μικροῦ καὶ ἰσόμοιρα, ζηλοῖ δὲ καὶ Δαυΐδ, τοὺς ὀφθαλμοὺς ἐπὶ τοὺς πιστοὺς τῆς γῆς ἔχων, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' αὐτοῦ. Ἐπὶ πᾶσι δὲ τοῦ ἐν βασιλεῦσι θειοτάτου Κων-

8. κατῖσον. — 11. μήδ'. — 18. δηλαδή. — 22. καθεδουμένων. — 23. || Κώδ. 44, α. ἀβραάμ.

σταντίνου κληρονομεῖ τὰ πάντα, τὸ στέμμα, τὸν θρόνον, τὸ εὐσεβὲς, τὴν περὶ τὴν ἱερωσύνην αἰδῶ καὶ τιμὴν <δι' εὐσέβειαν> καὶ τὸ ἐν καθέδρᾳ πρεσβυτέρων δοξάζειν τὸν Κύριον. 39. Τοιαύτῃ μὲν δὴ εὐσεβείᾳ ὁ θρόνος τοῦ εὐσεβοῦς βασιλέως ἀνέχεται κἀπὶ τοιαύτῃ χρυσῇ ὑποβάθρᾳ καὶ ταῖς βασιλικωτάταις ἀρεταῖς, τῇ κρίσει καὶ δικαιοσύνῃ, κατακοσμεῖται χρυσίου στιλπνότερον· αἷς καὶ ὁ λοιπὸς τῶν ἀδελφῶν ἀρετῶν κύκλος ἀντακολουθῶν περιχορεύει τὸν αὐτοκράτορα. Ποιητὴς δ' ἂν εἶπε καὶ ἀμφιπόλους τὰς περὶ τὴν δικαιοσύνην ἀρετὰς ταύτας χρυσέας ζωῇσι νεάνισιν ἐοικυίας, πονουμένας περὶ τὸν βασίλειον θρόνον καὶ κοσμούσας ἁπάσης δορυφορίας καὶ θεραπείας ἑτέρας σεμνότερον· εὐνομίαν φημὶ καὶ ὁμοφροσύνην καὶ κουροτρόφον εἰρήνην καὶ τὴν τῶν πόλεων εἰς τὸ κρεῖττον ἐπίδοσιν. Ἡ γὰρ τοῦ βασιλέως δικαιοσύνη οὐ μόνον αὐτὸν οἶδε ποιεῖν ὑψίθρονον, ἀλλὰ καὶ τὸ ὑπ' αὐτὸν ἅγιον ἔθνος ὑψοῖ· διὰ ταῦτα καὶ κρίνει τοὺς πτωχοὺς τοῦ λαοῦ καὶ σώζει τοὺς υἱοὺς τῶν πενήτων καὶ ταπεινοῖ συκοφάντην. Καὶ πῶς οὐκ ἂν καὶ τὸ ἑξῆς τῆς προφητείας, τὸ « καὶ συμπαραμενεῖ τῷ ἡλίῳ » δικαίως τῷ βασιλεῖ ἐφαρμόσειεν;

40. Οὐ γὰρ ἠγνόησεν ὁ τὰ πάντα σοφὸς βασιλεὺς πόθεν αἱ ῥωμαϊκαὶ πόλεις νοσοῦσι, μᾶλλον δ' αἱ πλείους τεθνήκασιν ἤδη καὶ παράπαν οἴχονται, καὶ ὡς τοῦτο μὲν ἡ φορολογικὴ ἀπληστία τὰ πάντα κατενεμήσατο, τοῦτο δὲ καὶ ἡ τῶν πλουτούντων ὀλιγαρχία τοῖς ἐκείνων ἐπεξῆλθεν ἐγκαταλείμμασιν, ἐν βρώσει ἄρτου, τὸ δημοτικώτερον, κατεσθίουσα. Ὅθεν ἑκάστη διοική-

11. Ἐπ. Ἰλιάδ. Σ, 417 κ. ἑ. — 18. Ἐπ. Ψαλμ. 71, 4. — 20. αὐτ. 71, 5.

σει δικαστὴν ἐπέστησε, τῷ τῆς δικαιοσύνης καυτῆρι τῆς πλεονεξίας τὴν νομὴν ἀνακόπτοντα. Καὶ ἄλλον μὲν ἄλλῃ, σὲ δὲ τὸν σοφὸν τῇ σοφῇ ἣν ὅτε Ἑλλάδι, τὸν περὶ νόμους καὶ βήματα τῇ εὐνομουμένῃ πάλαι ποτὲ καὶ νομοθέτας εὐτυχούσῃ Κέκροπας καὶ Λυκούργους καὶ Σόλωνας, τὸν δικαιότατον ἐν δικασταῖς τῇ παρὰ πάσας ἐκπιούσῃ τῆς ἀδικίας τὸν ἄκρατον. Ἔδει γὰρ ἐκεῖσε τῆς δικαιοσύνης ὑπερπερισσεῦσαι τὴν χάριν ὅπου τῶν ἀδικημάτων τὰ ἁμαρτήματα ἐπλεόνασαν. Τὰ γὰρ μείζω τῶν ἀρρωστημάτων ἰσχυρότερα ζητεῖ καὶ τὰ φάρμακα.

41. Νῦν τὰ παλαιὰ τῶν σοφῶν διὰ σοῦ καινίζονται θαύματα, ὧν κλέος οἷον ἀκούομεν, οὐδέ τι ἴδμεν. Καὶ ὡς μὲν Ἀμφίων τὰς καθῃρημένας ἀνοικοδομεῖς πόλεις νομίμοις ταῖς κρούμασιν, οἷα δὲ σοφὸς Ὀρφεὺς καταγοητεύων τιθασεύεις καὶ τῶν θηρίων τὰ ἀτεγκτότερα καὶ βορώτερα. Καὶ τὴν μὲν φορολογικὴν ὑπέρτονον τάσιν ὑποχαλᾷς ἐμμελῶς, μὴ τελέως ῥαγῇ τὰ τῶν πόλεων καταλείμματα· εἴ που δέ τις ἄρρυθμος καὶ ταραχώδης νευρά, τῇ κοπίδι τῆς δίκης σου τέμνεται, καὶ οὕτω πᾶσα πόλις τὸ πρὶν στασιάζουσα ὑπὸ σοὶ καλῷ τεχνίτῃ πρὸς ὁμόπνουν ξυναυλίαν ἁρμόττεται, τοῦτο δὴ τὸ μέγα τῆς λεσβίας λύρας κατόρθωμα. Νῦν καὶ τὴν ἐξίσωσιν τοῦ δικαίου Ἀριστείδου ὀφθαλμοῖς ἰδόντες θαυμάζομεν, ὅπως ἄριστα καταστήσας τὰς πόλεις ἐπὶ τῷ αὐτῷ τριβωνίῳ ἐπανῆλθεν ἀθήναζε, οὐδὲν ἐκεῖθεν ἐμπορευσάμενος ὅτι μὴ τὸ ἀποδειχθῆναι καὶ κληθῆναι δίκαιος καὶ πᾶσιν ἐνθεῖναι διὰ ταῦτα πε-

4. πάλαι ποτε.—13. Ἰλ. Β, 486. οἷον κλέος.—15. τιθασε·

νίας ἔρωτα. 42. Νῦν, ἵνα τὸ μεῖζον ἐρῶ, ἐξ οὐρανοῦ τῆς βασιλείου περιωπῆς ἐπέβλεψεν ὁ κύριος ἡμῶν βασιλεὺς ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἑλλάδα καὶ μέσον Ἄργος, κἀκεῖνα φιλανθρώπως καὶ θεοπρεπῶς ἐχρημάτισεν· «ἰδοὺ εἶδον τὴν || κάκωσιν τοῦ λαοῦ μου.» Καὶ ἐπὶ τούτοις ἄλλον σε στέλλει Μωσῆν ἐγχειρίσας σοι ῥάβδον δικαστικὴν τὴν καὶ ἄλλα μὲν ἐπιδειξομένην θαυμάσια, μεταβληθησομένην δὲ καὶ εἰς δράκοντα, ὅτε δεήσοι καταπλήττειν καὶ φοβεῖν τοὺς ὅσοι σκληρύνονται, ἵνα τρέσαντες ἐπιστραφεῖεν· ὡς ὅτε τις δράκοντα ἰδὼν παλίνορσον ἀπέστη, ὑπό τε τρόμος ἔλαβε γυῖα, τελευταῖον δὲ καὶ μαστίζουσαν πληγαῖς φιλοτίμοις τοὺς τὴν κακίαν αἰγυπτιάζοντας.

43. Ὦ μακάριοι μὲν οἱ ζῶντες ἡμεῖς ὑπὸ τοιούτῳ δικαστῇ καὶ σωφρονιστῇ, τὸ τοῦ βίου λειπόμενον ἐξανύσοντες, μακάριοι δὲ καὶ οἱ νῦν εὐτυχῶς θνήσκοντες ὅτι ἐν εἰρήνῃ κοιμώμενοι ἀναπαύονται καὶ οὐχ ὡς πρότριτα τὰ τελευταῖα πνέοντες σκυλεύονται τὰς περιουσίας ὡς πολέμιοί τινες πίπτοντες, οὐδὲ γυμνοὶ μὲν ἀπαλλάττονται τοῦ βίου αὐτοί, γυμνότερα δὲ περιλείπονται τῷ βίῳ γύναια οἰκτρὰ καὶ παιδάρια, ὥςπερ εἰ ἐπ' αὐτοχειρίᾳ τῶν οἰχομένων συγγενῶν ἑάλωσαν. Νῦν ὕπνος ὄντως ὁ θάνατος· ἔναγχος δὲ θανάτου κατὰ πολὺ φοβερώτερος καὶ μακαριώτερος, ὅτι μὴ συνεχώρουν ἡσύχως καὶ ῥᾳδίως ἀπιέναι τὰς ταλαιπώρους ψυχὰς οἱ κέρβεροι, ἀλλ' ἀνθεῖλκον λογοθετοῦντες ἐπὶ τοῖς οὖσι καὶ τὰς ἐνταφίους αὐτῶν ὀθόνας σπαράσσον-

3. βασ. εἶδες πάντας. — 5. ἰδὼν εἶδον. — 5. || Κώδ. 44, 6. — 9. δεήσει. — 10. Ἐπ. Ἰλιάδ. Γ, 33. ὅτέ. — 24. μακαριότερος.

τες. Ὅτε οὐχ οἱ ζῶντες εἶχον δακρύειν τοὺς θνήσκοντας (οὐ γὰρ εἶχον σχολὴν, περὶ χρημάτων πικρῶς ἐταζόμενοι), οἱ ἀπιόντες δὲ, οἶμαι, τοὺς ζῶντας ἐπένθουν οὑτωσὶ πάσχοντας, εἴ τις ἐν νεκροῖς αἴσθησις.

44. Ὢ τοῦ καινοῦ θεάματος καὶ ἀκούσματος! Κατέλυέ τις τὸν βίον ἐπὶ γυναικὶ καὶ παισὶ, καὶ παῖδες μὲν ὀρφανίας, γυνὴ δὲ χηρείας παραμύθιον εὕρισκον παρὰ τῶν δικαιοτάτων πραιτώρων τὴν τῶν προσόντων πάντων ἀφαίρεσιν καὶ τὸ μηδὲ χώραν ἔχειν παρακαθίσαι τῷ οἰκείῳ νεκρῷ καὶ προσκλαῦσαι, ἑλκομένους καὶ βασανιζομένους ἐπ' ἀποδόσει τῆς περιουσίας καὶ βιαζομένους συναπορρῆξαι τὸ ζῆν καὶ αὐτοὺς, ὡς τὴν τελευτὴν τοῦ ἑνὸς παγγενῆ εἶναι φθορὰν καὶ πανέστιον.

45. Ἀλλὰ νῦν τὸ μὲν τοιοῦτον τοῦ θανάτου κέντρον ἠμβλύνθη καὶ παράπαν συντέτριπται, θνήσκουσι δὲ οἷα μαλακῷ δεδμημένοι ὕπνῳ· καὶ κληρονόμοις μὲν τοῖς παρὰ τῶν νόμων εἰσαγομένοις καταλείπουσι τὰς περιουσίας, τοῖς δὲ πικροῖς φορολόγοις μόνον οἰμώζειν κλῆρος κατάλληλος ὑπολέλειπται. Λύκοι γὰρ μάτην χαίνοντες ἀπελέγχονται, μᾶλλον δὲ πᾶσα ἀνομία τοιαύτη ἐνέφριξε τὸ στόμα αὐτῆς· οἷα γὰρ τάλαντον μολίβδου, κατὰ τὴν ὅρασιν Ζαχαρίου, τῷ στόματι ταύτης ἐμβέβληται ἡ ἐμβριθὴς καὶ ἀπαρέγκλιτος δίκη σου καὶ μηδαμῶς τὴν τρυτάνην τῆς Θέμιδος παρακρούουσα. Οὐκέτι οὐδ' ἐφ' εὑρέματι θησαυρῶν ἑλκυσθήσεταί τις παρὰ τῶν ἀνορυττόντων δίκας τοιαύτας

4. ἐνέκροῖς. — 8. πραιτόρων. — 9. μὴ δὲ. — 22. αὐτῆς. — 23. Ἐπ. Ζαχαρ. 5, 7. — 26. ἐφευρ'ἔματι.

καὶ βιασθήσεται θήκας χρημάτων ἀποδοῦναι ὡς τὰ τοῦ Κροίσου ἢ Μίδου εὑρηκὼς ἀπόθετα.

46. Ἐπεὶ δὲ κοινὸν εὐτυχήσαμεν ἕρμαιον καὶ δικαιοσύνης θησαυρὸν πεπλουτήκαμεν, οὐδ' ὁ μὲν ἀνδροφόνος τὴν δίκην φευξεῖται, ὁ δὲ τὰς χεῖρας καθαρὸς ἀποτίσει ποινὴν αἵματος καὶ τὸ ἐφ' ἅπαξ ἀδίκως ζημιωθῆναι αἰτίαν εἰς ἔπειτα ἕξει αἰωνίου ἐγκλήματος, κἀπὶ τρίτην καὶ τετάρτην διαβήσεται γενεὰν ἡ παράνομος τῆς ψευδοῦς συκοφαντίας ἐκδίκησις· οὐδ' ὁ μὲν ἀδικῶν ἐνευλογηθήσεται, ὁ δ' ἀδικούμενος καὶ κονδύλους ἐπεντριβήσεται. 47. Πάλαι γὰρ ταῦτα, μᾶλλον δὲ χθές τε καὶ πρότριτα, ὅτε ἡ ἐννομωτάτη αὕτη ἀρχὴ καὶ τῶν πόλεων σώτειρα εἰς τοὐναντίον ἅπαν περιέστη ταῖς πόλεσι, διεφθαρμένη καὶ διαλελωβημένη παντάπασι καὶ οἷόν τι δημόσιον ἐργαστήριον παρανομίας ἐκ τῶν θετταλικῶν Τεμπῶν μέχρι καὶ Σπάρτης αὐτῆς ἀνεῴγνυτο καὶ προκαθῆστο τῶν ἀδίκων ἔργων ἐξάρχουσα· καὶ ὥσπερ τὴν Μήδειάν φασι φεύγουσαν διὰ τοῦ θετταλικοῦ πεδίου, τῶν φαρμάκων || ἐκχυθέντων, πολυφάρμακον τὴν Θετταλίαν ποιῆσαι, οὕτω καὶ ἡ πραιτωρεία ἀρχή, ἐκεῖθεν ἀρχομένη, κατέχεε τῆς Ἑλλάδος καὶ τῆς τοῦ Πέλοπος πᾶσαν ἀδικίαν ὥσπερ τινὰ δηλητήρια. Κἂν τὰ ἔτι σωζόμενα ἴχνη τῶν πόλεων ἐπίπαν ἠφάντωσε, κἂν μνήμης ἀνθρώπων ἐξῶσε καὶ αὐτὸ τῆς Ἑλλάδος τὸ ὄνομα, εἰ μὴ βασιλεύς, ὁ καθ' ἡμᾶς Ζοροβάβελ, ὁ τῶν Ῥωμαίων ὀρθόπολις ὁ τὰ πεπτωκότα κατ' ἐκεῖνον τὸν παλαιὸν ἀνεγείρων καὶ τὴν ἀρχὴν ταύτην τῆς χρονίας

3. ἐπεὶ δὲ. — 6. ἐφάπαξ. — 7. εἰσέπειτα. — 19. || Κώδ. 45. α. — 20. πραιτωρία. — 22. ὥσπέρ τινα.

ἀποξύσας φθορᾶς, εἰς τὴν ἀρχαίαν αὐτῆς σεμνότητα ἐξηυγένισε καὶ τοῦ παλαιοῦ αἴσχους ἀπήλλαξεν.

48. Οὐ γὰρ μόνον τὸ παρ' αὐτῆς εἰσφερόμενον ἅπαν ἐκ τῶν κοινῶν ἀδικημάτων ἐβδελύξατο καὶ διώσατο, τῶν βασιλικῶν ταμιείων κρίνας ἀνάξιον ὡς μηδὲν ἀπεοικὸς λαφύρου ληστρικοῦ ἢ μισθώματος πορνικοῦ, ἀλλὰ καὶ δημοσίοις ἐθέσπισε σιτηρεσίοις ἐφοδιάζεσθαι. Οὕτω τε κοσμήσας ὡς θέμις, πιστεύει ταύτην ἀνδρὶ οὐ σχεδίῳ τὰ δικαστικὰ ἢ τῆς ἰταλικῆς ἐπιστήμης ἀμελετήτῳ ἢ ἀνομιλήτῳ τῆς Θέμιδος, ἀλλὰ κρατίστῳ μὲν τὰ πολιτικά, εἴπερ τις, εὖ δὲ παιδείας ἔχοντι πάσης καὶ χάρισι ῥητορικαῖς τὰς νομικὰς ἐπιστήμας συζεύξαντι καὶ οἵῳ νομογραφεῖν νεαρὰ θεσπίσματα κατὰ τὸν Τριβωνιανὸν ἐκεῖνον τὸν χαριέστατον.

49. Τοιοῦτος, ὦ παρόντες, ὁ ἄνωθεν καταπεμφθεὶς ἡμῖν δικαστής, οὕτω μὲν ἐπιστήμων καὶ τελεώτατος ὡς θεόπεμπτον δώρημα, οὕτω δὲ πάσαις ἀρεταῖς κατακώχιμος καὶ τοὺς ἀθεμίστους εἰδὼς ὑπεμβιβάζειν τῇ εὐνομίᾳ καὶ μείζονος εὐεργεσίας μεταδιδόναι ἤ περ οἱ πάλαι Τριπτόλεμοι. Ἐκεῖνοι μὲν γὰρ ἀντὶ τῆς ἀγρίας καὶ ζωώδους τροφῆς τὴν ἥμερον καὶ σπερματικὴν τοῖς ἀνθρώποις παραθεῖναι μυθεύονται τράπεζαν, ὁ δέ, τῆς θηριώδους αὐτονομίας ἀπαλλάττων, τὴν ἀνθρωπικὴν <οἰκείαν> ὄντως μεταδιδάσκει δίαιταν καὶ πείθει σωφρόνως καὶ δικαίως βιοῦν κατὰ τὸ ἀποστολικὸν καὶ θεῖον παράγγελμα, τοῦτο μὲν ἀναπτύσσων τοὺς νόμους καὶ πρὸς αὐτοὺς τὸν καθ' ἕκαστον ἀπευθύνων,

11. εἶπερ. — 14. τριβουνιανόν. — 19. ἤπερ. — 24. οἰκίαν. — 26. τοῦ μὲν.

τοῦτο δὲ τὸν οἰκεῖον προτιθέμενος βίον νόμον ἔμψυχον πολλῷ τῶν ἐν γράμμασι βιαιότερον εἴς τε τὸ τὰ ὅμοια πράττειν ἐπαγωγότερον, καὶ οὕτως οἷον δι' ἑκατέρας χειρὸς, τοῦ τε νόμου καὶ τοῦ καθ' ἑαυτὸν βίου, χειραγωγεῖ τὰς πόλεις πρὸς πολιτείαν εὐδαίμονα.

50. Ἀλλὰ, Χριστὲ βασιλεῦ, ὁ διὰ τῶν ἀριστερῶν καὶ δεξιῶν ὅπλων τὰ καθ' ἡμᾶς διεξάγων ὅπῃ ποτὲ ἄμεινον, ἐπεὶ χρόνῳ τοιοῦδε καλοῦ τὰς ἐν ὀδύνῃ ψυχὰς ἔγευσας, δὸς ἐς μακρὸν καταπολαῦσαι τῆς ἀρετῆς τοῦ ἀνδρὸς, ὡς ἂν ἀδικία μὲν ἐπίπαν ἐκτοπισθείη ἐνθένδε, δικαιοσύνη δὲ καὶ εὐνομία ἐνιδρυθεῖσα τοῖς δεῦρο βεβαιωθείη. Ἄμειψαι δὲ ἀξίως τῆς περὶ ἡμᾶς τηλικαύτης προμηθείας καὶ διοικήσεως τὸν φιλοπένητα καὶ δικαιότατον αὐτοκράτορα, χρόνους ἐπιμετρῶν ζωῆς μακροβίου καὶ γῆρας παρεκτείνων ἀκρότατον.

2. τὲ τά. — 7. ὁπήποτε. — 10. ἐνθάδε.



ΠΡΟΣΘΗΚΑΙ ΚΑΙ ΠΑΡΟΡΑΜΑΤΑ

Ἐν σ. γ'. στ. 4 ἀντὶ *τρεῖς* γράφε *δύο*.

Ἐν σ. ζ'. στ. 29 προστεθήτω ὅτι τὸ εἰς τὸν Δριμὺν προσφώνημα περιέχεται καὶ ἔν τινι κώδικι τῆς ἐν Ἐσκουριάλῳ βιβλιοθήκης (*Miller*, Catalogue des manuscrits de l'Escurial, σ. 203.).

Ἐν σ. 15, στ. 2 ἀντὶ *Κολασσαὶ* γράφε *Κολοσσαί*.

Ἐν σ. 24 σημ. στ. 22 σημειωθήτω ὅτι ὁ Μιχαὴλ ποιεῖται λόγον περὶ τοῦ Ξηροῦ ἅπαξ μόνον ἐν κώδ. λαυρ. 36, 6 ἐν οἷς γράφει πρὸς τὸν Φωκᾶν «παρεώραται γάρ, ὡς ᾠήθης, καὶ « λόγος καὶ γῆρας καὶ βαθμὸς οἷς πᾶσιν αὐτὸς ἐγκαλλωπίζε- « σθαι μεγαλαυχεῖς, ὡς ἐκ τοῦ μακαριωτάτου Ξηροῦ μέχρι « καὶ ἐς δεῦρο τὰς τῶν διακονιῶν ἐκμετρήσας ἁπάσας κλί- « μακας.»

Ἐν σ. 25, στ. 2 ἀντὶ Ο $\overline{\text{ΚΕ}}$ γράφε $\overline{\text{ΘΚΕ}}$.

Εἰς τὴν ἐν σ. 53 σημ. 5 ἐν τοῖς περὶ ἐξοικισμοῦ τῶν Ἀθηνῶν πρόσθες καὶ τόδε τὸ χωρίον τοῦ Ἀκομινάτου, γράφοντος πρὸς τὸν Στρυφνὸν ἐν κώδ. λαυρ. 86, α' «Δυσωπήθητι, κατοι- « κτείρησον καὶ κάμφθητι πρὸς ἔλεον τοσούτων πτωχῶν ἀ- « γομένων καὶ φερομένων παντὶ ἀνέμῳ καὶ πρὸς ἀλλοδαπὰς « ἐκτοπιζομένων χώρας καὶ κούφισον τῶν ἐπιτριβουσῶν ἐπη- « ρειῶν.»


Ἐν σ. 94, στ. 7 ἀντὶ *καταδαπανουμένης* γράφε *καταδαπανωμένης*.

Ἐν σ. 96, στ. 11 ἀντὶ *ὀφρὺν* γράφε *ὀφρῦν*.

Ἐν σ. 108 στ. 12 καὶ σημ. στ. 15 ἀντὶ 1120 γράφε 1220.

Ἐν σ. 109 στ. 10 ἀντὶ *βυζαντικῶν* γράφε *βυζαντιακῶν*.

Αὐτόθι στ. 14 ἀντὶ *ἀρχὰς ιγ' αἰῶνος* γράφε *ἀρχὰς τοῦ ιγ' αἰῶνος*.



1



2



3

ΤΥΠΟΙΣ ΧΡΙΣΤΟΔΟΥΛΟΥ

ΤΟΥ ΑΥΤΟΥ

Παναγιώτου Δοξαρᾶ περὶ ζωγραφίας, χειρόγραφον τοῦ ͵ΑΨΚΣΤ′ νῦν τὸ πρῶτον μετὰ προλόγου ἐκδιδόμενον ὑπὸ Σπ. Π. Λάμπρου. Ἐν Ἀθήναις, 1871.— Δρ. 2,50.

Τὰ κατὰ τοὺς οἰκιστὰς τῶν παρ' Ἕλλησιν ἀποικιῶν καὶ τὰς αὐτοῖς ἀπονεμομένας τιμὰς καὶ προνομίας. Dissertatio inauguralis historica. Lipsiae MDCCCLXXIII. — Δρ. ν. 2.

Collection de romans Grecs en langue vulgaire et en vers (d'après les manuscrits d'Oxford et de Leyde) ἐκδοθησόμενον τὸν Ἀπρίλιον ἐν Παρισίοις παρὰ Maisonneuve.— Δρ. ν. 15.

Τὸ παρὸν βιβλίον τιμᾶται δρ. ν. 3.

